**ΕΛΕΓΕΙΟΓΡΑΦΟΙ**

(ἐκδ. M. West, *Delectus ex Iambis et Elegis Graecis*, Oxford 1980)

**ΤΥΡΤΑΙΟΣ**

***απ.* 2.12-15** (West) POxy. 2824 (=Στράβων 8.4.10 π. Τυρταίου· καὶ γὰρ εἶναί φησιν ἐκεῖθεν ἐν τῇ ἐλεγείᾳ ἣν ἐπιγράφουσιν εὐνομίαν: αὐτὸς …. ἀφικόμεθα)

αὐτὸς γὰρ Κρονίων καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις ἄστυ δέδωκε τόδε,
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα
γλαυκώπιδος

***απ.* 10** (West) Λυκοῦργος *ατά Λεωκράτους* 107

τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ᾽ ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ᾽ αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ᾽ ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ᾽ ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
χρησμοσύνῃ τ᾽ εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ᾽ ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ᾽ ἀτιμίη καὶ κακότης ἕπεται.
†εἶθ' οὕτως ἀνδρὸς ἀλωμένου οὐδεμί' ὤρη
γίνεται οὔτ᾽ αἰδὼς οὔτ᾽ ὀπίσω γένεος.
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ᾽ ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ᾽ ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ᾽ ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,

θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ᾽ αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα –

αἰσχρὰ τά γ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν,
καὶ χρόα γυμνωθέντα· νέῳ δέ τε πάντ᾽ ἐπέοικεν,
ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

Λυκούργος *ατά Λεωκράτους* 107 [“πρὸς Ἀθηναίους π. τῶν προγόνων: οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεός, παρ᾽ ἡμῶν ἡγεμόνα λαβεῖν καὶ νικήσειν τοὺς πολεμίους. καίτοι εἰ τοῖν ἀφ᾽ Ἡρακλέους γεγενημένοιν οἳ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ τοὺς παρ᾽ ἡμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ᾽ οὗ καὶ τῶν πολεμίων ἐκράτησαν καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο, οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον, ἀλλ᾽ εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς. κατέλιπεν γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν: καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τοῦτον οὕτω σφόδρα ἐσπουδάκασιν ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐξεστρατευμένοι ὦσι, καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνῄσκειν. χρήσιμον δ᾽ ἐστι καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων, ἵν᾽ ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ᾽ ἐκείνοις]

---

**απ. 11** (West) Στοβαίος 4.9.16

ἀλλ᾽ Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστε,
θαρσεῖτ᾽· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ᾽ ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε,
ἰθὺς δ᾽ ἐς προμάχους ἀσπίδ᾽ ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας ὁμῶς αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ Ἄρηος πολυδακρύου ἔργ᾽ ἀΐδηλα,
εὖ δ᾽ ὀργὴν ἐδάητ᾽ ἀργαλέου πολέμου,
καὶ θαμὰ φευγόντων τε διωκόντων τε γέγευσθε,
ὦ νέοι, ἀμφοτέρων δ᾽ ἐς κόρον ἠλάσατε.

οἳ μὲν γὰρ τολμῶσι παρ᾽ ἀλλήλοισι μένοντες
ἔς τ᾽ αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ᾽ ἀνδρῶν πᾶσ᾽ ἀπόλωλ᾽ ἀρετή·
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ᾽, ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
ἁρπαλέον γὰρ ὄπισθε μετάφρενός ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ,
αἰσχρὸν δ᾽ ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ᾽ αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ᾽ ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ᾽ ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ᾽ ἐκτὸς βελέων ἑστάτω ἀσπίδ᾽ ἔχων.
ἀλλὰ τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφειοὐτάζων δήϊον ἄνδρ᾽ ἑλέτω·
καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ᾽ ἀσπίδοσἀσπίδ᾽ ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ ὦ γυμνῆτες, ὑπ᾽ ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισι πλησίον ἱστάμενοι.

***απ.* 12** (West) Στοβαίος 4.10.1

οὔτ᾽ ἂν μνησαίμην οὔτ᾽ ἐν λόγῳ ἄνδρα τιθείμην
οὐδὲ ποδῶν ἀρετῆς οὔτε παλαιμοσύνης,
οὐδ᾽ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ᾽ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ᾽ εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ᾽ Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,

εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
   καὶ δηίων ὀρέγοιτ᾽ ἐγγύθεν ἱστάμενος.
ἥδ᾽ ἀρετή, τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
   κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ᾽ ἐσθλὸν τοῦτο πόληϊ τε παντί τε δήμῳ,
   ὅστις ἂν εὖ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
   ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ᾽ ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς.
   οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
   τρηχείας, σπουδῇ δ᾽ ἔσχεθε κῦμα μάχης·
ὃς δ᾽ αὖτ᾽ ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
   ἄστυ τε καὶ λαοὺς καὶ πατέρ᾽ εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
   καὶ διὰ θώρηκος πρόσθεν ἐληλάμενος,
τὸν δ᾽ ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
   ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
   καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω·
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ᾽ ὄνομ᾽ αὐτοῦ,
   ἀλλ᾽ ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν᾽ ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
   γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ·
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
   νικήσας δ᾽ αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
   πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
γηράσκων δ᾽ ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
   βλάπτειν οὔτ᾽ αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ᾽ ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ᾽ αὐτὸν
   εἴκουσ᾽ ἐκ χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

## ΜΙΜΝΕΡΜΟΣ

***απ.* 1** (West) Στοβαίος 4.20.16

τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
 τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή,
 οἷ᾽ ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ᾽ ὀδυνηρὸν ἐπέλθῃ
 γῆρας, ὅ τ᾽ αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
 οὐδ᾽ αὐγὰς προσορῶν τέρπεται ἠελίου,
ἀλλ᾽ ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
 οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

———

***απ.* 2** (West) Στοβαίος 4.34.12 (π. τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελὴς καὶ φροντίδων ἀνάμεστος: Μιμνέρμου)

ἡμεῖς δ᾽ οἷά τε φύλλα φύει πολυανθέος ὥρῃ
 ἔαρος, ὅτ᾽ αἶψ᾽ αὐγῇς αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
 τερπόμεθα πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ᾽ ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι,
 ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ᾽ ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
 καρπός, ὅσον τ᾽ ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
 αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος·
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
 τρυχοῦται, πενίης δ᾽ ἔργ᾽ ὀδυνηρὰ πέλει·
ἄλλος δ᾽ αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
 ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·
ἄλλον νοῦσος ἔχει θυμοφθόρος· οὐδέ τίς ἐστιν
 ἀνθρώπων ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

## ΘΕΟΓΝΙΣ

**1-4**

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ᾽ ἀποπαυόμενος,
ἀλλ᾽ αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

**5-10**

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ,
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

**11-14**

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
εἵσαθ᾽, ὅτ᾽ ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ᾽ ἀπὸ κῆρας ἄλαλκε·
σοὶ μὲν τοῦτο θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

**15-18**

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ᾽ ἔπος,
"ὅττι καλόν, φίλον ἐστι, τὸ δ᾽ οὐ καλὸν οὐ φίλον ἐστί."
τοῦτ᾽ ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

**19-38**

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ᾽ ἔπεσιν-λήσει δ᾽ οὔποτε κλεπτόμενα,
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος,
ὧδε δὲ πᾶς τις ἐρεῖ· "Θεόγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέως" · πάντας δὲ κατ᾽ ἀνθρώπους ὀνομαστός·
ἀστοῖσιν δ᾽ οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ οὑν Ζεὺς
οὔθ᾽ ὕων πάντεσσ᾽ ἁνδάνει οὔτ᾽ ἀνέχων.

σοὶ δ᾿ ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός
Κύρν᾿, ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ᾿ ἐὼν ἔμαθον.
πέπνυσο, μηδ᾿ αἰσχροῖσιν ἐπ᾿ ἔργμασι μηδ᾿ ἀδίκοισιν
τιμὰς μηδ᾿ ἀρετὰς ἕλκεο μηδ᾿ ἄφενος.

ταῦτα μὲν οὕτως ἴσθι κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ᾿ αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζε καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ᾿ ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλει, καὶ ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

…………………………………..

**43-52**

οὐδεμίαν πω, Κύρν᾿, ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ᾿ ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι δίκας τ᾿ ἀδίκοισι διδῶσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμίεσθαι,
μηδ᾿ εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ᾿ ἂν τοῖσι κακοῖσι φίλ᾿ ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν
μούναρχοί τε· πόλει μήποτε τῇδε ἅδοι.

**53-60**

Κύρνε, πόλις μὲν ἔθ᾿ ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ᾿ οὔτε δίκας ᾔδεσαν οὔτε νόμους,
ἀλλ᾿ ἀμφὶ πλευραῖσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ᾿ ὥστ᾿ ἔλαφοι τῆσδ᾿ ἐνεμοντο πόλεος.
καὶ νῦν εἰσ᾿ ἀγαθοί Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ᾿ ἀνέχοιτ᾿ ἐσορῶν;
ἀλλήλους δ᾿ ἀπατῶσιν ἐπ᾿ ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ᾿ ἀγαθῶν.

**61-68**

μηδένα τῶνδε φίλον ποιεῦ Πολυπαΐδη ἀστῶν
   ἐκ θυμοῦ χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
   χρῆμα δὲ συμμείξῃς μηδενὶ μηδ᾽ ότιοῦν
σπουδαῖον· γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
   ὥς σφιν ἐπ᾽ ἔργοισιν πίστις ἔπ᾽ οὐδεμία,
ἀλλὰ δόλους ἀπάτας τε πολυπλοκίας τ᾽ ἐφίλησαν
   οὕτως ὡς ἄνδρες μηκέτι σῳζόμενοι.

**69-72**

μήποτε Κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
   εὖτ᾽ ἂν σπουδαῖον πρῆγμ᾽ ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ᾽ ἐσθλὸν ἰὼν βούλευ καὶ πολλὰ μογῆσαι
   καὶ μακρὴν ποσσὶν Κύρν᾽ ὁδὸν ἐκτελέσαι.

## ΙΑΜΒΟΓΡΑΦΟΙ (και ΕΛΕΓΕΙΟΓΡΑΦΟΙ)

(έκδ. M. West, *Delectus ex Iambis et Elegis Graecis*, Oxford 1980)

### ΑΡΧΙΛΟΧΟΣ

**Ελεγειακά**

**απ. 1** (West) Πλούταρχος *Φωκίων* 7.6 [ἀλλ᾽ οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν ... Ἀρχίλοχος γοῦν ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δ᾽ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων:]

εἰμὶ δ᾽ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
  καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

---

**απ. 2** (West) Αθήναιος 30f [Ἀρχίλοχος τὸν Νάξιον οἶνον τῷ νέκταρι παραβάλλει· ὅς καί πού φησιν:

ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ᾽ οἶνος
  Ἰσμαρικός, πίνω δ᾽ ἐν δορὶ κεκλιμένος.

---

**απ. 5** (West) Αθήναιος 483d [Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῦς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα ἢ ἀποθανεῖν:]

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
  ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων·
αὐτὸν δ᾽ ἔκ μ᾽ ἐσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη;
  ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

**απ.13** (West) Στοβαίος 4.56.30 [παρηγορικά· Ἀρχιλόχου:]

κήδεα μὲν στονόεντα Περίκλεες οὔτε τις ἀστῶν
  μεμφόμενος θαλίῃς τέρψεται οὔτε πόλις·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
  ἔκλυσεν, οἰδαλέους δ᾽ ἀμφ᾽ ὀδύνῃς ἔχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,

ὦ φίλ᾽ ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτε δ᾽ ἄλλον ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ᾽, αἱματόεν δ᾽ ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ᾽ ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

**Ιαμβικά**

***απ.* 130** (West) Στοβαίος 4.41.24 [ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία μεταπιπτούσης ῥᾳδίως τῆς τύχης· Ἀρχιλόχου:]

τοῖς θεοῖς †τ′ εἰθεῖάπάντα: πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ᾽ ἀνατρέπουσι καὶ μάλ᾽ εὖ βεβηκότας
ὑπτίους, κείνοις <δ′> ἔπειτα πολλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

———

***απ.* 114** (West) Δίων Χρυσόστομος 2. 456 [ὁ δὲ Ἀρχίλοχος ... περὶ στρατηγοῦ λέγων οὕτω φησίν: ]

οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ᾽ ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλεώ ς βεβηκὼς ποσσι, καρδίης πλέως.

———

***απ.* 128** (West) Στοβαίος 3. 20. 28 [π. ὀργῆς:]

θυμέ, θύμ᾽ ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἀνάδυ, δυσμενῶν δ᾽ ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον ἐνδόκοισιν, ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφαδην̓ ἀγάλλεο
μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο:
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακαῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ᾽ οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

———

***απ.* 122** (West) Στοβαίος 4.46.10

“χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ᾽ ἀπώμοτον
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίης ἔθηκε νύκτ᾽, ἀποκρύψας φάος
ἡλίου †λάμποντος, λυγρὸν† δ᾽ ἦλθ᾽ ἐπ᾽ ἀνθρωπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται
ἀνδράσιν· μηδεὶς ἔθ᾽ ὑμῶν εἰσορῶν θαυμαζέτω
μηδ᾽ ἐὰν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον, καὶ σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ᾽ ἠπείρου γένηται τοῖσί δ′ ὑλέειν ὄρος.

Αριστοτέλης *Ρητορική* 3. 1418b. 28 (“ ... καὶ ὡς Ἀρχίλοχος ψέγει: ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ)

———

**απ. 120** (West) Αθήναιος 628 a [Φιλόχορος δέ φησιν ὡς οἱ παλαιοὶ σπένδοντες οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ᾽ ὅταν σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ τὸν δὲ Ἀπόλλωνα μεθ᾽ ἡσυχίας καὶ τάξεως μέλποντες. Ἀρχίλοχος γοῦν φησιν:]

ὡς Διωνύσοι᾽ ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον οἴνῳ συγκεραυνωθεὶς φρένας.

## ΣΟΛΩΝ

### Ελεγείες

***απ.* 9** (West) Διόδωρος Σικελιώτης 9.20.2 [λέγεται δὲ Σόλων καὶ προειπεῖν τοῖς Ἀθηναίοις τὴν ἐσομένην τυραννίδα δι᾽ ἐλεγείων: ]

ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ᾽ ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ᾽ ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ μονάρχου
δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσεν.
λίην δ᾽ ἐξάραντ᾽ <οὐ> ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ᾽ ἤδη χρὴ <καλὰ> πάντα νοεῖν.

***απ.* 11** [καὶ μετὰ ταῦτα τυραννοῦντος (τοῦ Πεισιστράτου) ἔφη:]

εἰ δὲ πεπόνθατε λυγρὰ δι᾽ ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μόμφον ἐπαμφέρετε·

αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην·
ὑμέων δ᾽ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,

σύμπασιν δ᾽ ὑμῖν χαῦνος ἔνεστι νόος·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἱμύλου ἀνδρός,
εἰς ἔργον δ᾽ οὐδὲν γιγνόμενον βλέπετε.

———

***απ.* 13** (West) Στοβαίος 3.9.23 [π. δικαιοσύνης· Σόλωνος:]

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
ὄλβόν μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε Δίκη·
πλοῦτον δ᾽ ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν·
ὃν δ᾽ ἄνδρες τιμῶσιν ὑφ᾽ ὕβριος, οὐ κατὰ κόσμον

ἔρχεται, ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται, ταχέως δ᾽ ἀναμίσγεται ἄτῃ·
ἀρχὴ δ᾽ ἐξ ὀλίγης γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ·
οὐ γὰρ δὴ<ν> θνητοῖς ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ
ὥστ᾽ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δῃώσας καλὰ ἔργα θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ᾽ αὖτις ἔθηκεν ἰδεῖν,
λάμπει δ᾽ ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ᾽ ἔστιν ἰδεῖν.
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ᾽ ἐφ᾽ ἑκάστῳ
ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος,
αἰεὶ δ᾽ οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχῃ, πάντως δ᾽ ἐς τέλος ἐξεφάνη·
ἀλλ᾽ ὁ μὲν αὐτίκ᾽ ἔτεισεν, ὁ δ᾽ ὕστερον· οἳ δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν μοῖρ᾽ ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
θνητοὶ δ᾽ ὧδε νοέομεν ὁμῶς ἀγαθός τε κακός τε,
εὖ ῥεῖν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ᾽ αὐτίκ᾽ ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χὤστις μὲν νούσοισιν ὑπ᾽ ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλός, μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ᾽ ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ᾽, ἀνέμοισι φορεόμενος ἀργαλέοισιν,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ᾽ ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον·
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ᾽ ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,

ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
   οὔτέ τις οἰωνὸς ῥύσεται οὔθ᾽ ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
   ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ᾽ ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
   κοὐκ ἄν τις λύσαιτ᾽ ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
   ἁψάμενος χειροῖν αἶψα τίθησ᾽ ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν,
   δῶρα δ᾽ ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ᾽ ἔργμασιν, οὐδέ τις οἶδεν
   πῇ μέλλει σχήσειν χρήματος ἀρχομένου·
ἀλλ᾽ ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
   ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν
   συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ᾽ οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
   οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
   κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι,
ἄτη δ ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς
   πέμψῃ τεισομένην, ἄλλοτε ἄλλος ἔχει.

---

**απ. 15** (West) Πλούταχος *Σόλων* 3.2 [ὅτι δ᾽ αὑτὸν ἐν τῇ τῶν μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε δῆλόν ἐστιν ἐκ τούτων:]

πολλοὶ γὰρ πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
   ἀλλ᾽ ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
   χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

**Ἴαμβοι**

**απ. 36** (West) Αριστοτέλης *Αθηναίων Πολιτεία* 12.4

Πλούταρχος *Σόλων* [π. Σόλωνος: πάλιν δὲ καὶ περὶ τῆς ἀποκοπῆς τῶν χρεῶν καὶ τῶν δουλευόντων μὲν πρότερον ἐλευθερωθέντων δὲ διὰ τὴν σεισάχθειαν:]

ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξυνήγαγον
δῆμον, τί τούτων πρὶν τυχεῖν ἐπαυσάμην;
συμμαρτυροίη ταῦτ᾽ ἂν ἐν δίκῃ Χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρη.
πολλοὺς δ᾽ Ἀθήνας πατρίδ᾽ εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ᾽ ἀναγκαίης ὑπὸ
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ᾽ Ἀττικὴν
ἱέντας ὡς δή πολλαχῇ πλανωμένους·
τοὺς δ᾽ ἐνθάδ᾽ αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομεομένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει
ὁμοῦ βίην τε καὶ δίκην ξυναρμόσας
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην·
θεσμοὺς δ᾽ ὁμοίως τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ᾽ ἄλλος ὡς ἐγὼ λαβών,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ᾽ ἃ τοῖσιν οὑτέρᾳ φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἤδ᾽ ἐχηρώθη πόλις.
τῶν οὕνεκ᾽ ἀλκὴν πάντοθεν ποιεόμενος
ὡς ἐν κυσὶν πολλῇσιν ἐστράφην λύκος.

[καὶ πάλιν ὀνειδίζων πρὸς τὰς ὕστερον αὐτῶν μεμψιμοιρίας ἀμφοτέρων:]

δήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ᾽ ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον …
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες,
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο.

εἰ γάρ τις ἄλλος, φησί, ταύτης τῆς τιμῆς ἔτυχεν,

οὐκ ἂν κατέσχε δῆμον, οὐδ᾽ ἐπαύσατο
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα·
ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ
ὅρος κατέστην.

**απ. 38** (West) Αθήναιος *Δειπνοσοφισταί* 645f [γοῦρος ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς Ἰάμβοις φησίν:]

πίνουσι καὶ τρώγουσιν οἱ μὲν ἴτρια
οἱ δ᾽ ἄρτον αὐτῶν, οἱ δὲ συμμεμειγμένους
γούρους φακοῖσι· κεῖθι δ᾽ οὔτε πεμμάτων
ἄπεστιν οὐδ᾽ ἕν, ἅσσα ἐν ἀνθρώποισι γῆ
φέρει μέλαινα, πάντα γ᾽ ἀφθόνως πάρα.